※καὶ μετὰ βασιλέων εἰς θρόνον
※καὶ καθιεῖ αὐτοὺς εἰς νεῖκος, καὶ ὑψωθήσονται.
8 ※καὶ εἰ πεπεδημένοι ἐν χειροπέδαις
※συσχεθήσονται ἐν σχοινίοις πενίας,
9 ※καὶ ἀναγγελεῖ αὐτοῖς τὰ ἔργα αὐτῶν
※καὶ τὰ παραπτώματα αὐτῶν, ὅτι ἰσχύσουσιν.⸔
10 ἀλλὰ τοῦ δικαίου εἰσακούσεται·
※καὶ εἶπεν ὅτι ἐπιστραφήσονται ἐξ ἀδικίας.
11 ※ἐὰν ἀκούσωσιν καὶ δουλεύσωσιν,
※συντελέσουσιν τὰς ἡμέρας αὐτῶν ἐν ἀγαθοῖς
※καὶ τὰ ἔτη αὐτῶν ἐν εὐπρεπείαις.⸔
12 ἀσεβεῖς δὲ οὐ διασῴζει παρὰ τὸ μὴ βούλεσθαι εἰδέναι αὐτοὺς τὸν κύριον
καὶ διότι νουθετούμενοι ἀνήκοοι ἦσαν.
13 ※καὶ ὑποκριταὶ καρδίᾳ τάξουσιν θυμόν·
※οὐ βοήσονται, ὅτι ἔδησεν αὐτούς.⸔
14 ἀποθάνοι τοίνυν ἐν νεότητι ἡ ψυχὴ αὐτῶν,
ἡ δὲ ζωὴ αὐτῶν τιτρωσκομένη ὑπὸ ἀγγέλων,
15 ἀνθ᾿ ὧν ἔθλιψαν ἀσθενῆ καὶ ἀδύνατον·
κρίμα δὲ πραέων ἐκθήσει.
16 ※καὶ προσέτι ἠπάτησέν σε ἐκ στόματος ἐχθροῦ·
※ἄβυσσος, κατάχυσις ὑποκάτω αὐτῆς·
※καὶ κατέβη τράπεζά σου πλήρης πιότητος.⸔
17 οὐχ ὑστερήσει δὲ ἀπὸ δικαίων κρίμα,
18 θυμὸς δὲ ἐπ᾿ ἀσεβεῖς ἔσται
δι᾿ ἀσέβειαν δώρων, ὧν ἐδέχοντο ἐπ᾿ ἀδικίαις.
19 μή σε ἐκκλινάτω ἑκὼν ὁ νοῦς
δεήσεως ἐν ἀνάγκῃ ὄντων ἀδυνάτων,
※καὶ πάντας τοὺς κραταιοῦντας ἰσχύν.
20 ※μὴ ἐξελκύσῃς τὴν νύκτα
※τοῦ ἀναβῆναι λαοὺς ἀντ᾿ αὐτῶν·⸔
21 ἀλλὰ φύλαξαι μὴ πράξῃς ἄτοπα·

$7^2$ βασιλεως S* | $7^3$ και $1^0$ > SA | εις νεικος / και] tr. AV | υψωθησεται A || $8^1$ ει Gra.] οι mss. | $8^2$ σχοινιω S^c pl. || $9^1$ αυτοις] -των S*† | αυτων ⌒ $9^2$ αυτων S*† | $9^2$ οταν ισχυσωσιν AV† || $12^1$ ειδεναι αυτους] tr. A pl. || $14^1$ αποθανη A† | $14^2$ τιτρωσκ.] + ειη AV Sy^mg† || $16^1$ προσετι ηπατησεν S^c†(cf. etiam Field)] προσεπιηπατ. uel sim. rel. | $16^2$ καταχυσεις A† || 17 ουχ υστ. δε] και ουχ υστ. AV†: cf. 3 12 || $18^1$ εσται] ηξει AV† | $18^2$ ασεβειας S | αδικειας AV || $19^1$ εκκλινη AV† | εκων / ο νους] tr. AV† | $19^2$ εν αν. οντων / αδυν.] tr. AV† | stichos $19^3 + 20^{1.2}$ ex θ′ additos AV† inserunt non ante, sed post $21^1$: cf. 20 20; sed V repetit $21^1$ post $20^2$ | $19^3$ κρατουντας S*† || $21^1$ ατοπα (cf. 4 8 11 11 etc.)] αδικα BS*†, ανομα AV†; sed in repetitione stichi (cf. sup.) etiam V ατοπα